# 10 FEBRUARIE
# POLICARP KOMIS

# EGKOMIA SF.IERARH-MUCENIC HARALAMBIE, EPISCOPUL MAGNEZIEI



## EGKOMIERUL PE FEBRUARIE-GR


Ὁ ἍΓΙΟΣ
ΧΑΡΑΛΑΜΠΟΣ

# ΕΓΚΩΜΙΑ
# ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΙΕΡΟΜΑΡΤΥΡΑ
# ΧΑΡΑΛΑΜΠΗ
# ΤΟΝ ΘΑΥΜΑΤΟΥΡΓΟΝ

## ΣΤΑΣΙΣ ΠΡΩΤΗ

Ἦχος πλ. α΄. Ἡ ζωὴ ἐν τάφῳ.

Μακαρίζομέν σε, Ἱερεῦ τοῦ Χριστοῦ,
Ἀθλοφόρε γενναιόφρον Χαράλαμπες,
καὶ γεραίρομεν τὴν μνήμην σου λαμπρῶς.

Μακαρίζομέν σε, Ἐκκλησίας Χριστοῦ,
τὸν φωστῆρα τόν ἀεὶ διαυγέστατον,
καὶ πανάριστον Κυρίου Λειτουργόν.

Ἡ ἀκροστιχίς· ΕΝ ΨΑΛΜΟΙΣ ΙΕΡΟΙΣ (στίχοι 15)

ΠΟΙΗΜΑ ΠΟΛΥΚΑΡΠΟΥ ΚΟΜΗ

Ἐκ νεότητός σου, ἀγαπήσας Χριστόν,
ἠκολούθησας Αὐτῷ ὦ Χαράλαμπες,
καὶ ἐπλήσθης δωρεῶν ὑπερφυῶν.

www.tezaurliturgic.ro



Νοῦν καθηγεμόνα, κεκτημένος σοφέ,
πίστιν ζέουσαν, ἀγάπην, πραότητα,
θεῖον ἔσοπτρον ἐγένου τοῦ Θεοῦ.

Ψήφῳ τοῦ Κυρίου, Ἱερεὺς γεγονώς,
ἐλειτούργησας Αὐτῷ ὦ Χαράλαμπες,
καθαρῶς ἀμέμπτως ὥσπερ Ἀαρών.

Ἀνεδείχθης μάκαρ, πενομένων τροφή,
τῶν χηρῶν καὶ ὀρφανῶν ὑπεράσπισις,
καὶ τῆς ποίμνης σου φιλόστοργος πατήρ.

Λόγοις ἀληθείας, λόγοις πνευματικοῖς,
διατρέφων τοὺς πιστοὺς ὦ Χαράλαμπες,
καθωδήγεις εἰς τὴν μάνδραν τοῦ Χριστοῦ.

Μιαιφόνων Πάτερ, ὁ ἐσμὸς καθορῶν,
τὸν ἐνάρετόν σου βίον Χαράλαμπες,
διεπρίετο καρδίας κατὰ σοῦ.

Ὅλος προθυμία, ἐν σταδίῳ ἑστώς,
ἀνεκήρυττες Χριστὸν ὦ Χαράλαμπες,
μὴ πτοούμενος τυράννων ἀπειλάς.

Ἰταμῷ θυμῷ τε, ἀπηνῶς τὴν δοράν,
ἐξεδάρης ὁλοκλήρου τοῦ σώματος.
Ὢ μανίας τῶν ἀνόμων κατὰ σοῦ!

Σώματί σου φέρεις, τὰς τῶν ἥλων δεινάς,
προσηλώσεις καρτερῶς ὦ Χαράλαμπες,
ἐκμιμούμενος τὸ Πάθος τοῦ Χριστοῦ.

www.tezaurliturgic.ro



Ἱκεσίαις, Λόγε τοῦ Θεοῦ καὶ Πατρός,
Χαραλάμπους τοῦ κλεινοῦ ἀποδίωξον,
τὴν πανώλη ἐκ τοῦ κόσμου παντελῶς.

Ἐκκοπεῖσας χεῖρας, τιμωροῦντος δουκός,
κρεμαμένας σώματί σου οἱ δήμιοι,
καθορῶντες ὡμολόγησαν Χριστόν.

Ρῦσαι σαῖς πρεσβείαις, ἀνιάτων παθῶν,
λοιμωδῶν ἀσθενειῶν τε καὶ θλίψεων,
τοὺς αἰτοῦντάς σε Χαράλαμπες θερμῶς.

Ὁ δεινὸς Σεβῆρος καὶ ὁ Κρίσπος ὁμοῦ,
τιμωροῦντές σε μετέωροι ὤφθησαν
ἐν ἀέρι, οὓς κατήγαγες εὐχῇ.

Ἱλαρῶς τελέσας καὶ γενναίως σοφέ,
τὸ μαρτύριον ἐν γήρατι πίονι,
ἠξιώθης τῆς ἀλήκτου χαρμονῆς.

Σοὺς σεπτοὺς ἀγῶνας ἀνυμνοῦμεν πιστῶς,
καὶ τιμῶμεν τὰ φρικτά σου μαρτύρια,
ἃ ὑπέστης δι' ἀγάπην τοῦ Χριστοῦ.

ΠΟΙΗΜΑ ΛΕΟΝΤΙΟΥ ΙΕΡΕΩΣ (στίχοι 18)

Ἀπὸ κεφαλῆς σου, ὡς ὀνύχων ποδῶν,
ἐκδορὰν ὑπέστης ὅλου σου σώματος,
γενναιότατα γενναῖε Ἀθλητά.

Ὢ φρικτῆς τῆς θέας! ὢ ἀνδρείας τῆς σῆς!
Ἥρως μείζων τῶν Μαρτύρων σὺ δέδειξαι,
τυχὼν δόξης τῶν μεγίστων Ἀθλητῶν.

www.tezaurliturgic.ro



Πρόσωπον Τυράννου, ὄντως Λουκιανοῦ,
πτύσαντός σε ἀπεστράφη εἰς ὄπισθεν·
σὺ δ' ἰάσω ἀμνησίκακε αὐτόν.

Συγχωρῶν ἐχθρούς σου, τοὺς ἐχθροὺς ἀγαπῶν,
καὶ ὑπὲρ ἐχθρῶν σου Μάρτυς δεόμενος,
ἐμιμήσω τὸν Χριστὸν ἐν τῷ Σταυρῷ.

Ἄφεσιν πταισμάτων, σωτηρίαν ψυχῶν,
ἀγαθῶν πληθύν, εἰρήνην αἰτήσω σύ,
τοῖς τιμῶσί σε πρὸς δόξαν τοῦ Θεοῦ.

Χαλινὸν βαλόντες, στόματί σου σοφέ,
καὶ ἐκ τῶν γενείων δέσαντες σ' ἔσυρον,
περιφέροντες ὁδοῖς ἐμπαικτικῶς.

Τῷ ἀλόγῳ λόγον. Λόγος δίδωσ' εἰπεῖν,
λῦσαι σέ, ὅτι Θεὸς μετὰ σοῦ ἐστιν,
ὁ σημεῖα καὶ τὰ τέρατα ποιῶν.

Εἶδον ἐν ἐκστάσει, εἶδον Πάτερ ἐκ σοῦ,
ἃ οὐδέποτε Χαράλαμπες εἴδοσαν,
ἀναστάντας προσευχῇ σου καὶ νεκρούς.

Οὔτε πῦρ οὐ σοῦβλα, οὐ σαρκὸς ἡ δορά,
οὐδὲ ἥλων προσηλώσεις, οὐ θάνατος,
σὲ ἐχώρισαν ἀγάπης τοῦ Χριστοῦ.

Πᾶν ὃ ἂν αἰτήσῃ, δώσω ἔφη Χριστός·
σὺ δ' ἐζήτησας ἰᾶσθαι Χαράλαμπες,
τὴν πανώλη τε καὶ νόσους λοιμικάς.

Μοναχοῖς ἐντρόμοις, φεύγουσιν εἰς βουνά,
ἐν τῷ Ἄθῳ, σὺ φανεὶς Πάτερ ἔφησας·
μὴ φοβεῖσθ' ἐγὼ διώξω τὸν λοιμόν.

www.tezaurliturgic.ro



Ἡ Μεγίστη Λαύρα, ἔκτοτέ σε τιμᾷ,
καὶ ἐντέλλεται Μοναῖς Ὄρους ἅπασιν,
ἀγρυπνίας ἐν τῇ μνήμῃ σου τελεῖν.

Οὐκ Ἁγίων Πάντων, εἰσακούσω φωνάς,
Χαραλάμπης μόνον δ' ἂν ἱκετεύσῃ με,
παύσω τάχος τὸν λοιμὸν εἶπε Θεός.

Λοιμῷ παγκοσμίῳ, θεία ἠκούσθη φωνή,
κἂν οἱ Ἅγιοί μου Πάντες πρεσβεύσωσι,
Χαραλάμπους μόνον δέξομαι εὐχάς.

Κωνσταντινουπόλει, Ὅσιον Ἰωνᾶν,
ἐκ πανώλους ἐλυτρώσω δεόμενον,
καὶ ὁλόκληρον τὴν Πόλιν τοῦ λοιμοῦ.

Ἐν ἐσχάτοις χρόνοις, σὺ νεκροὺς ἀνιστᾷς,
καὶ λαμπάδες Ἱερόαθλε, σβέννυνται,
ὁ δὲ λίβανος ἀνῆλθε τῷ Θεῷ.

Μή τις ἀπιστήσῃ, ἔγερσιν νῦν νεκρῶν·
Ἰησοῦς γὰρ ὁ αὐτὸς χθὲς καὶ σήμερον,
ὁ θανάτου καὶ ζωῆς τὰς κλεῖς κρατῶν.

Κριτῇ παγκοσμίῳ, ζώντων τε καὶ νεκρῶν,
δοῦναι πρέσβευε ζωὴν καὶ ἀνάπαυσιν,
ταῖς ψυχαῖς τῶν προσφιλῶν ἡμῶν νεκρῶν.

Δόξα Πατρί... Τριαδικόν.

Ἡ ὑπὸ Ἀγγέλων, ὑμνουμένη Τριάς,
ἱκεσίαις Χαραλάμπους τοῦ δούλου Σου,
τὰ ἐλέη Σου κατάπεμψον ἡμῖν.

www.tezaurliturgic.ro



Καὶ νῦν... Θεοτοκίον.

Παναγία Μῆτερ, τῶν πιστῶν ἡ ἐλπίς,
τὴν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι,
ἵνα τύχω Βασιλείας οὐρανῶν.

Καὶ πάλιν τὸ πρῶτον.

Μακαρίζομέν σε, Ἱερεῦ τοῦ Χριστοῦ,
Ἀθλοφόρε γενναιόφρον Χαράλαμπες,
καὶ δοξάζομεν τὴν μνήμην σου λαμπρῶς.

## ΣΤΑΣΙΣ ΔΕΥΤΕΡΑ

Ἦχος πλ. α΄. Ἄξιόν ἐστι.

Ἄξιόν ἐστιν, ὦ Χαράλαμπες ὑμνολογεῖν σε,
τὸν τῆς εὐσεβείας ὑπέρμαχον
καὶ εἰδώλων καθαιρέτην ἀληθῶς.

Ἄξιόν ἐστι, μεγαλύνειν σε Ἱερομάρτυς,
Ἱερέων μέγα κειμήλιον
καὶ προστάτην τῶν πιστῶν καὶ ἰατρόν.

Ἡ ἀκροστιχίς· ΣΟΦΟΝ ΧΑΡΑΛΑΜΠΗΝ (στίχοι 15)

ΠΟΙΗΜΑ ΠΟΛΥΚΑΡΠΟΥ ΚΟΜΗ

Σούβλῃ σιδηρᾷ, διεπέρασαν σὸν θεῖον στέρνον,
σὺ δὲ πάσχων Μάρτυς Χαράλαμπες,
τὸν Χριστὸν ἐδοξολόγεις ἐκ ψυχῆς.

Ὅλος ἀβλαβής, ὦ Χαράλαμπες διεφυλάχθης,
εἰς πυρὰν βληθεὶς ἱερώτατε,
ὡς οἱ Παῖδες εἰς τὴν κάμινον ποτέ.

Φύλλα καὶ καρπούς, ὁ κατάξηρος στῦλος ἐκφύει,
τῇ ἁφῇ σου θεῖε Χαράλαμπες,
εἰς κατάπληξιν ἀπίστων καὶ πιστῶν.

Ὅλην σὴν ζωήν, ἑκατὸν καὶ δέκα τρία ἔτη,
τῷ Χριστῷ δουλεύσας ἠξίωσαι,
μαρτυρίου τὸ ποτήριον πιεῖν.

Νάουσαν πηγήν, χαριτόβρυτον ὡς Παραδείσου,
ὁ Χριστὸς τὴν Κάραν σου ἔδειξε,
τὰ ἰάματα προχέουσαν ἡμῖν.

Χάριν ἐκ Θεοῦ, ἐκομίσω θεραπεύειν μάκαρ,
πᾶσαν ἀρρωστίαν Χαράλαμπες,
καὶ διώκειν τὴν πανώλη τὴν δεινήν.

Ἄνω σὺ ὑψῶν, σοῦ τὰ ὄμματα Ἱερομύστα,
καὶ εὐχὴν ποιήσας Χαράλαμπες,
ὡς ἐξ ὕπνου ἐξανέστησας νεκρόν.

Ῥήγνυται Σατάν, καθορῶν σε ἐναθλοῦντα μάκαρ,
καὶ ἡμεῖς Χριστὸν μεγαλύνομεν,
τὸν διδόντα σοι Χαράλαμπες ἰσχύν.

Ἄνωθεν ἡμῖν, ἐξαπόστειλον τοῖς σέ τιμῶσι,
χάριν, εὐλογίαν καὶ ἔλεος,
δυσωποῦμέν σε Χαράλαμπες σοφέ.

Λίθοις αἰχμηροῖς, οἱ τῶν λίθων χείρονες παμμάκαρ,
ἔτυπτον σεπτὰς σιαγόνας σου,
δι' ὧν ὕμνεις τὸν Θεὸν ἀνελλιπῶς.

www.tezaurliturgic.ro



Ἄνω ἡ Χριστοῦ, θριαμβεύουσα νῦν Ἐκκλησία,
ἄγει ἑορτὴν θεοδόξαστον,
ἐν τῇ μνήμῃ σου Χαράλαμπες ἀεί.

Μέγα ἀληθῶς, σοῦ τὸ ὄνομα Ἱερομάρτυς,
ὅτι τοὺς πιστῶς δεομένους σου.
διασώζεις ἐκ παντοίων συμφορῶν.

Πρόσωπον τὸ σόν, τὸ σεβάσμιον καὶ φωτοβόλον,
καίοντες λαμπᾶσιν οἱ δήμιοι,
σὲ προέπεμπον εἰς φῶς τὸ ἱλαρόν.

Ἤστραψε φαιδρῶς, τῶν θαυμάτων σου ἡ θεία χάρις,
εἰς τὴν οἰκουμένην Χαράλαμπες,
καὶ δοξάζεται τὸ ὄνομα Χριστοῦ.

Νέαν κιβωτόν, ἡ Μονὴ τῶν Μετεώρων μάκαρ,
τοῦ σεπτοῦ Στεφάνου τὴν Κάραν σου
κεκτημένη ἐκλυτροῦται πειρασμῶν.

## ΠΟΙΗΜΑ ΛΕΟΝΤΙΟΥ ΙΕΡΕΩΣ (στίχοι 18)

Δεῦρο καὶ γενοῦ, πρεσβευτὴς ῥύστης καὶ ἰατρός μου,
παύων πόνους ἐκ κινδύνων ῥυόμενος,
καὶ πρεσβεύων ἄφεσιν ἁμαρτιῶν.

Μέγας ὁ Θεός, Χαραλάμπους ὁ Σεβῆρος κράζει,
νεκρὸν ἐκ τοῦ φερέτρου ἐγειρόμενον,
θεωρῶν καὶ δαιμονῶντα ὑγιᾶ.

Ἄνδρα δέσμιον, σιδηρᾶς τὸν θραύοντα ἁλύσους,
σῷ Ναῷ προσπίποντα εἰκόνι σου,
ἐκ δαιμόνων ἠλευθέρωσας δεσμῶν.

www.tezaurliturgic.ro



Γάγγραιναν ποτέ, ἀπειλοῦσαν τῷ θανάτῳ νέον,
κλινικῇ χρισθέντα ἐλαίῳ σου,
καταπαύεις προλαβὼν κοπὴν ποδῶν.

Ξέοντες πλευράς, σιδηροῖς ὄνυξι καὶ ὀργάνοις,
ἐπροκάλουν σοι ὀδύνην τὴν ἄρρητον,
καὶ ἀπόλαυσι αἰωνίων ἀγαθῶν.

Φρίττει σὴν φωνήν, καὶ τὴν κλῆσιν τοῦ ὀνόματός σου,
διάβολος καὶ ἀκάθαρτα πνεύματα,
καὶ δαιμόνων δραπετεύει λεγεών.

Ἡ ἐκ γενετῆς, τυφλὴ οἴκῳ σου ἐν Θεσσαλονίκη,
τῇ σῇ ἑορτῇ· Βλέπω, ἔκραξε·
Χαραλάμπης γάρ μοι ἔδωκε τὸ φῶς.

Πρόσφυξ δεκαετής, ἐν ἱδρύματι θανοῦσ' ἀνέστη,
ἐπιθέσει ἐν τῷ στήθει εἰκόνος σου,
σῇ προστάξει ἐν ὀνόματι Ἰησοῦ.

Ἕλληνας πολλούς, διασώζεις ἐκ φρικτοῦ θανάτου,
καὶ ὁμαδικῶν ἐκτελέσεων,
ἀλλοφύλους τιμωρίαις ἀπειλῶν.

Σύμπασα Ἑλλάς, μεγαλύνει ταύτης τὸν προστάτην,
Χαραλάμπη τὸν ἐν Μάρτυσι μέγιστον,
καὶ Ἑλλήνων πάντων μέγαν ἀρωγόν.

Ὁ δαιμονισθείς, φωναῖς ζώων λαλῶν Ἀθηναῖος,
προσφυγὼν εἰς Ἰατροὺς καὶ Ἁγίους τε,
σῷ Ναῷ μόνον ἰάθη θαυμαστῶς.

Ἅρμα φλογερόν, κατὰ νόσων λοιμωδῶν ὑπάρχων,
ἔτι καὶ καρκίνον ἰώμενος,
ἀνιάτων νόσων ὤφθης νικητής.

www.tezaurliturgic.ro



Βέβηλον θρασύν, βλασφημήσαντα σῇ Πανηγύρει,
δείξας ἐπὶ ἔτος κωφάλαλον,
ἑορτῇ σου αὖθις λύεις τῆς ποινῆς.

Ὤφθης σὺ νυκτί, ἐν ὁράματι ραπίζων νέαν,
ἀδελφὴν αὐτῆς μονάσαι κωλύουσαν,
πείθων ὅτι ἀντιτάσσεται Θεῷ.

Τοῦρκοι τοὺς πιστούς, ἐν Μικρᾷ Ἀσίᾳ ἀλλαχοῦ τε,
μαρτυρίοις καὶ βασάνοις φονεύοντες,
ἀδυσώπητόν σε εὗρον τιμωρόν.

Εἰς Φιλιατρά, ἐλυτρώσω τοὺς μελλοθανάτους,
Γερμανὸν Διοικητὴν διατάσσων σύ,
ἐκτελέσει ἀντιποίνων μὴ προβῇ.

Μνήσθητι σοφέ, μοχθησάντων πόθῳ ἀνεγεῖραι,
ἐν Ἐδέσσῃ σὸν Ναὸν ὡραιότατον,
Μοναχῆς Συγκλητικῆς καὶ ἀδελφῶν.

Σκέπε τὴν Μονήν, Πρωτομάρτυρος Στεφάνου Πάτερ,
ἔνθα Κάρα σου ἁγία φυλάσσεται,
Μοναστρίας τε τιμῶσάς σε φρουρῶν.

Δόξα Πατρί... Τριαδικόν.

Δόξα Σοι Τριάς, Ὁμοούσιε καὶ Τρισαγία,
ὅτι τοὺς Ἁγίους Σου Μάρτυρας,
ἡμῖν πρέσβεις ἐδωρήσω εὐμενεῖς.

Καὶ νῦν... Θεοτοκίον.

Δεῦτε οἱ πιστοί, ἀνυμνήσωμεν τὴν Θεοτόκον,
τὴν Θεὸν ἀφράστως κυήσασαν,
καὶ λυτρώσασαν κολάσεων ἡμᾶς.

www.tezaurliturgic.ro



Καὶ πάλιν τὸ πρῶτον.

Ἄξιόν ἐστιν, ὦ Χαράλαμπες ὑμνολογεῖν σε,
τὸν τῆς ἀληθείας ὑπέρμαχον,
καὶ δαιμόνων καταλύτην ἰσχυρόν.

## ΣΤΑΣΙΣ ΤΡΙΤΗ

Ἦχος γ΄. Αἱ γενεαὶ πᾶσαι.

Αἱ γενεαὶ πᾶσαι, μακαρίζομέν σε, τὸν Μέγαν Χαρα-λάμπη.
Αἱ γενεαὶ πᾶσαι, μακαρίζομέν σε, Χαράλαμπες γεν-ναῖε.

Ἡ ἀκροστιχίς· ΕΠΑΔΩ. ΠΟΛΥΚΑΡΠΟΥ (στίχοι 15)

Ἐξέστησαν χορεῖαι, Ἀγγέλων καὶ Ἀνθρώπων,
τοὺς ἄθλους σου ὁρῶσαι.

Πῶς σου τοὺς ἀγῶνας, Χαράλαμπες ὑμνήσω,
δι᾽ ὧν ἐμεγαλύνθης;

Ἀγγέλων αἱ Δυνάμεις, εἰς οὐρανοὺς τὴν θείαν,
ἀνήγαγον ψυχήν σου.

Δαιμονῶντα μάκαρ, ἰάτρευσας εὐχῇ σου,
καὶ εἵλκυσας πρὸς πίστιν.

Ὡς ὁ Σωτὴρ τοῦ κόσμου, τὰς ἥλων προσηλώσεις,
ὑπέμεινας γενναίως.

Πλάνης τῶν εἰδώλων, βασίλισσαν Γαλήνην,
Χαράλαμπες ἐρρύσω.

Ὅλῃ προθυμίᾳ, ἀθλήσασα Γαλήνη,
Χριστῷ συμβασιλεύει.

Λυτρούμεθα λιταῖς σου, νόσων ἀνιάτων,
καὶ τῆς δεινῆς χολέρας.

Ὕψωσον τὰς χεῖρας, ὑπὲρ τῶν σὲ τιμώντων,
Χαράλαμπες τρισμάκαρ.

Κάρα σου ἡ θεία, Χαράλαμπες ἐκβλύζει,
τῶν ἰαμάτων ρεῖθρα.

Αἰωνιζούσης δόξης, καὶ χαρᾶς ἀλήκτου,
ἀξίως ἠξιώθης.

Ρᾶνον οὐρανόθεν, Χαράλαμπες σοῖς τέκνοις,
τὰς πατρικὰς εὐχάς σου.

Παντοίων ἀλγηδόνων λυτρούμεθα εὐχαῖς σου,
Χαράλαμπες θεόφρον.

Ὁσίως καὶ ἀμέμπτως, ζήσας ἠξιώθης,
στεφάνων μαρτυρίου.

Ὕμνους καὶ δεήσεις, προσφέρομεν καὶ μύρα,
πλουτοῦντές σε προστάτην.

## ΠΟΙΗΜΑ ΛΕΟΝΤΙΟΥ ΙΕΡΕΩΣ (στίχοι 18)

Μεγαλομάρτυς χάριν, δός ἀπερίγραπτόν σου,
μαρτύριον νῦν γράψαι.

www.tezaurliturgic.ro



Ὅλον σου τὸ σῶμα, Σεβήρου στρατιῶται,
προσήλωσαν τοῖς ἥλοις.

Συρόμενος ἐφέρου, ἕως Ἀντιοχείας,
σταδίους δέκα πέντε.

Δέκα καὶ πέντε ἔτη, παράλυτον ἐκ Βόλου,
ἐγείρεις ἐκ τῆς κλίνης.

Δηχθεῖσαν ἐκ λυσσώδους, κυνὸς σῇ ἐπισκέψει,
ἰάσω ἐκ τῆς λύσσης.

Αἱμορροοῦσαν μάκαρ, ἐλθοῦσαν ἐν Ναῷ σου,
τῆς ρύσεως ἐρρύσω.

Θαυματουργῶν Ἁγίων, ὑπέρτερος ἐδείχθης,
Χαράλαμπες παμμάκαρ.

Ὑπομονὴν καὶ πίστιν, δωρήσασθαι σοῖς δούλοις,
σὸν Κύριον δυσώπει.

Τῇ τοῦ Σταυροῦ δυνάμει, τυράννους ἐτροπώσω,
Χαράλαμπες γενναῖε.

Πρὸ σοῦ θανάτου Μάρτυς, τεράστια ἐτέλεις,
τελεῖς τε καθ' ἑκάστην.

Τυφλοὺς καὶ παραλύτους, λεπροὺς καὶ δαιμονῶντας,
ἰάτρευσας τρισμάκαρ.

Πορφύριος καὶ Βάπτος, οἱ δήμιοί σου Μάρτυς,
ἐπίστευσαν Θεῷ σου.

Ὡς βύσσος καὶ πορφύρα, τὰ αἵματά σου Μάρτυς,
κοσμεῖ τὴν Ἐκκλησίαν.

Ὑπὲρ Ἁγίους Πάντας, ἐπόνεσας παμμάκαρ, ἀθλήσας ὑπὲρ φύσιν.

Ἀδάμας καρτερίας, καὶ στήλη τῆς ἀνδρείας, ὑπομονῆς τ' ἐδείχθης.

Πληγὰς θεομηνίας, θανατηφόρους νόσους, ταῖς σαῖς πρεσβείαις παύεις.

Πανένδοξε σῇ δόξῃ, ἐξέστησαν οἱ πάντες, Χριστὸν δοξολογοῦντες.

Χαρᾶς τῆς λαμπροτάτης, ἐπώνυμε, χαρίζῃ, χαρὰν τοῖς σὲ ὑμνοῦσιν.

Δόξα Πατρί... Τριαδικόν.

Τριὰς Θεὲ τῶν πάντων, πρεσβείαις Χαραλάμπους, χαρίτωσον τὸν κόσμον.

Καὶ νῦν... Θεοτοκίον.

Φιλάγαθε Παρθένε, ἀγάθυνον τὸν νοῦν μου, ποιεῖν ἀγαθωσύνην.

Καὶ πάλιν τὸ πρῶτον.

Αἱ γενεαὶ πᾶσαι, μακαρίζομέν σε, τὸν Μέγαν Χαραλάμπη.

www.tezaurliturgic.ro



# ΕΥΛΟΓΗΤΑΡΙΑ

## ΠΟΙΗΜΑ ΠΟΛΥΚΑΡΠΟΥ ΚΟΜΗ

Ἦχος πλ. α΄.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με, ὑμνῆσαι Χαραλάμπη.

Στρατηγίαι Ἀγγέλων, καὶ ἀνθρώπων ἀγέλαι, ἐξεπλάγησαν μάκαρ, καθορῶσαι τὰς δεινάς, καὶ δριμείας βασάνους, ἃς ὑπὲρ Χριστοῦ ἀνδρικῶς ὑπέμεινας· Ὃν ἀεὶ δυσώπει ἡμᾶς λυτρώσασθαι.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με, τὸν Λειτουργόν σου μέλψαι.

Τοῖς ἐν δάκρυσι, πιστῶς προστρέχουσι, τῷ Ναῷ σου τῷ πανσέπτῳ μάκαρ, καὶ αἰτοῦσί σε θερμῶς, τὰς αἰτήσεις βραβεύεις καὶ ἐκ τῶν δεινῶν ἀπαλλάττεις Ἅγιε, πρεσβείαις σου θείαις πρὸς τὸν Φιλάνθρωπον.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με, Πολύαθλον δοξάσαι.

Λίαν θερμαῖς, προσευχαῖς σου Ἅγιε, ἐλυτρώσω τῶν πιστῶν τὰ πλήθη, ἀλγηδόνων φοβερῶν, καὶ τῆς νόσου πανώλους· ὅθεν καὶ ἡμεῖς εὐλαβῶς βοῶμέν σοι· βοηθὸς γενοῦ ἡμῖν Μάρτυς Χαράλαμπες.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με, τὸν Μάρτυρά σου ᾆσαι.

Μυροθήκη ὑπάρχει, ἡ πανέντιμος Κάρα, τοῦ κλεινοῦ Χαραλάμπους, ἀποπνέουσα ἀεί, μυστικὴν εὐωδίαν, ἥτις τῶν πιστῶν θέλγει τὰ νοήματα, καὶ ἀποδιώκει κακίας πνεύματα.

Δόξα Πατρί... Τριαδικόν.

Τὴν Ἁγίαν Τριάδα, ἣν ἀεὶ ἀνυμνοῦσι, μυριάδες Ἀγγέλων, προσκυνήσωμεν πάντες, οἱ πιστοὶ μετὰ δέους, καὶ ἀπὸ βαθέων ψυχῆς συμψάλλωμεν· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ, Κύριε.

Καὶ νῦν... Θεοτοκίον.

Ὦ Πανύμνητε Μῆτερ, ἡ τεκοῦσα ἀσπόρως, τὸν τοῦ κόσμου τροφέα, δυσωποῦσα μὴ παύσῃ, σὺν σεπτῷ Χαραλάμπει, δοῦναι ἱλασμὸν καὶ τὸ θεῖον ἔλεος, τοῖς αὐτὸν τιμῶσι καὶ σὲ δοξάζουσιν.

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα Σοι ὁ Θεός.
Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα Σοι ὁ Θεός.
Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα Σοι ὁ Θεός.



Δίστιχον

Πολυκάρπου ὕμνους Χαράλαμπες δέχου
καὶ δυσώπει Χριστὸν τυχεῖν σωτηρίας.

Ἀρχιμ. Πολύκαρπος Κόμης
Ὑμνογράφος